ς΄. Ὠφελούμεναι δὲ καὶ οἱ ἵπποι καὶ αἱ κύνες ἀπὸ τῆς γεωργίας, ἀντωφελοῦσι τὸν χῶρον· ὁ μὲν ἵππος, πρωΐ τε κομίζων τὸν κηδόμενον εἰς τὴν ἐπιμέλειαν, καὶ ἐξουσίαν παρέχων ὀψὲ ἀπιέναι· αἱ δὲ κύνες, τά τε θηρία ἀπερύκουσαι ἀπὸ λύμης καρπῶν καὶ προβάτων, καὶ τῇ τε ἐρημίᾳ τὴν ἀσφάλειαν συμπαρέχουσαι.

ζ΄. Παρορμᾷ δέ τι καὶ εἰς τὸ ἀρήγειν σὺν ὅπλοις τῇ χώρᾳ καὶ ἡ γῆ τοὺς γεωργοὺς, ἐν τῷ μέσῳ τοὺς καρποὺς τρέφουσα τῷ κρατοῦντι λαμβάνειν.

η΄. Καὶ δραμεῖν δὲ, καὶ βαλεῖν, καὶ πηδῆσαι τίς ἱκανωτέρους τέχνη γεωργίας παρέχεται; τίς δὲ τοῖς ἐργαζομένοις πλείω τέχνη ἀντιχαρίζεται; τίς δὲ ἥδιον τὸν ἐπιμελόμενον δέχεται, προτείνουσα προσιόντι λαβεῖν ὅ, τι χρήζει; τίς δὲ ξένους ἀφθονώτερον δέχεται;

θ΄. Χειμάσαι δὲ πυρὶ ἀφθόνῳ, καὶ θερμοῖς λουτροῖς, ποῦ πολὺ πλείων εὐμάρεια ἢ ἐν χώρῳ τῳ; ποῦ δὲ ἥδιον θερίσαι ὕδασί τε, καὶ πνεύμασι, καὶ σκιαῖς ἢ κατ᾽ ἀγρόν;

ι΄. Τίς δὲ ἄλλη Θεοῖς ἀπαρχὰς πρεπωδεστέρας παρέχει, ἢ ἑορτὰς πληρεστέρας ἀποδεικνύει; τίς δὲ οἰκέταις προσφιλεστέρα, ἢ γυναικὶ ἡδίων, ἢ τέκνοις ποθεινοτέρα, ἢ φίλοις εὐχαριστοτέρα;



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id414709993/72 gefördert von der Deutschen Forschungsgemeinschaft DFG